23. *ὤκχησεν* libri, nisi quod *ὤκχησε* AK, *ὄκχησε* G (sed „*τὸ κ* dubium est" Schubart.), *ὠέχησεν* H., *ὤχησεν* Steph. *ἀμάξας* M et Frob. cf. Excurs. — 24. *καρίωνος* libri, *Καρνίωνος* emend. Arnald., *Καρνείωνος* ed. Mein. — 25. *ἰλυοὺς ἐμβάλλοντο* G, *εἰλυοῖς ἴλλοντο* vel *ἰλυοῖς εἴλοντο* Valcken. ad Theocrit. Adon. p. 250 C, *ἰλυοὺς ἐκάμοντο* coni. Mein. totum versum habet Drac. p. 55, 6. — 26. *κράθιν τε* ABCEFK Vasc. *κραθιν τὲ* Frob. *πολύστειόν* ABCDdFHIKLM et vet. edd., *πολύστειβόν*, sed in marg. *πολύστειόν* E, *πολύστεινόν* G. *πολύστειόν τε Μετώπην* citat. schol. Pind. Ol. VI 146, *πολύστιόν τε Μέτωπον* schol. Apoll. II 1172. in eadem voce libri variant in Nicandr., cf. ad Ther. 950. ego cum Brunck. et Blomf. probavi *πολύστιον*, non *πολύστειον* cum Mein. nam vide Theogn. Can. p. 103, 28: *σεσημείωται τὸ φλία, στία, Θρία διὰ τοῦ ῑ γραφόμενα.* add. Lentz. Herod. II p. 583 seq. et M. Schmidt. ad Hesych. IV p. 79. et *στιάων* summo codicum consensu legitur in Apoll. Rhod. II 1172. — 27. *ποσίν* M. versum attulit Drac. p. 91, 8. — 28. *ὑπ' ἀμηχανίης σχομένη* libri, nisi quod G *ἀμηχανίησχομένη*. *ὑπ' ἀμηχανίῃ σχ.* Mein. — 29. *φίλε* Frob. a vulgata non recedit qui versum citat Drac. p. 105, 7. *τεαί δ'* ABK. — 30. Quidam *αὖ τανύσασα*, ut refert Stephan. *θεὴ* Brunck. *ὑψόθι* om. ABCK, *ὑψόσε* coni. Blomf. — 31. *πολὺ* CEK. — 32. *ἔχεε* GH. in *τόθι ι* ex *ε* corr. I. Sua hinc sumpsisse Triphiod. 119 *ἐξέχεεν μέγα λαῖτμα* putabat Ruhnk. — 33. *ὦ να* FIAld. *κομίζειν* ABCK, *κομίσσαι* reliqui et edd. omnes. — 34. *κευθμὸν ἔσω* ABCDdEFGH et edd. Ven. Steph., *κευθμὸν' ἔσω* IK, *κευθμόν' ἔσω* LAld. Vasc., *κευθμῶν' ἔσω* M et Frob., *κευθμῶν' ἐς* Blomf. Firmat codd. plurimor. lectionem imitatione sua Triphiod. 440 *κευθμὸν ἔσω θαλάμοιο.* — 35. *νυμφάων* G, *νυμφαίων* H. *πρεσβυτάτῃ* certe ABIKM. *μαιεύσαντο* ed. Blomf. — 36. *πρωτίστῃ γενεῇ* vel |*ιστῃ γενεῇ* codd. et edd., nisi quod *γενεὴν* G. *γενεῆφι* Hoelzlin. *γενεὴν* coni. Reisk., ed. Mein. *πρωτίστῃ τε γενήν* Scheer Program. Rendsburg. 1866, p. 24. *πρωτίστη γενεή* ego correxi. Tum *μετά γε στύγα τε φιλύρην τε* AB, ut con. Blomf., *μετά τε στ. τε φ. τε* EGH, *μετά τε στύγα φιλύρην τε* CDdFIKLM Ald. Frob. Ven. Vasc. Steph. I. II., *μετὰ Στύγα Φιλλύρην τε* Steph. II in marg. — 37. *ἀλίην* ABdK Frob. *θεή* ABCDdEFIKLM edd. vet., *θέ* H, *θεά* G, Blomf. Mein.

κεῖνο Νέδην ὀνόμηνε· τὸ μὲν τόθι πουλὺ κατ' αὐτὸ
Καυκώνων πτολίεθρον, ὃ Λέπρειον πεφάτισται,
συμφέρεται Νηρῆι· παλαιότατον δέ μιν ὕδωρ
υἱωνοὶ πίνουσι Λυκαονίης ἄρκτοιο.
εὖτε Θενὰς ἀπέλειπεν ἀπὸ Κνωσσοῖο φέρουσα,
Ζεῦ πάτερ, ἡ νύμφη σε (Θεναὶ δ' ἔσαν ἐγγύθι Κνωσσοῦ),
τουτάκι τοι πέσε, δαῖμον, ἄπ' ὀμφαλός· ἔνθεν ἐκεῖνο
Ὀμφάλιον μετέπειτα πέδον καλέουσι Κύδωνες.
Ζεῦ, σὲ δὲ Κυρβάντων ἑτάραι προσεπηχύναντο,
Δικταῖαι μελίαι, σὲ δ' ἐκοίμισεν Ἀδρήστεια
λείκνῳ ἔνι χρυσέῳ· σὺ δ' ἐθήσαο πίονα μαζὸν
αἰγὸς Ἀμαλθείης, ἐπὶ δὲ γλυκὺ κηρίον ἔβρως·
γέντο γὰρ ἐξαπιναῖα Πανακρίδος ἔργα μελίσσης
Ἰδαίοις ἐν ὄρεσσιν, ἅ τε κλείουσι Πάνακρα.

---

38. ποθι libri et edd. τόθι Reiske, μάλα Brunck. πολὺ CH. κατ' αἰπύ coni. Ruhnk. — 39. Καυκώνων πτολίεθρον hinc habet Etym. Gud. p. 308, 26, item gram. in Cramer. Anecd. Paris. IV p. 55 et 68, totum versum habet schol. Aristoph. Acharn. 724 et ex eo Suid. s. ἀγορανομίας, ubi olim legebatur Λέπριον, quod etiam Callimachi codd. et edd. ante Ernest. habent omnes praeter G, in quo est λέπραιον. emendavit Wassius ad Thucyd. V 31. cf. Poppo. Proleg. Thucyd. II p. 178 seq. — 40. hunc versum citat Draco p. 91, 11. — 41. γυιωνοὶ ABFfK, γυωνὶ Q, γυωνοὶ EH, τυωνοὶ I correctum a m. secund. — 42. ἀπέλιπεν FIL, δ' ἀπέλειπεν coni. Reiske. ἐπὶ libri, quod ἀπὸ emendavit Mein. κνωσοῖο ABCEFK, κνωσσοῖο DdGHILM Ald. Frob. Vas. Steph. et recentiores usque ad Mein. cf. Velsen. de Tryphon. p. 57. — 43. θεαὶ δ' ἔσαν G. ἐγγίθι B. κνωσοῦ ABEF, κνωσσοῦ CDdGHIKLM et edd. ante Mein. — 44 seq. Verba inde a πέσε usque ad Κύδωνες citat schol. Nicandr. Al. 7, ubi olim edebatur δαίμων ἀπομφάλιος (ἐπ' ὀμφαλόν cod. Goetting.) ὅθεν ἐκεῖνον, unde hic ὅτθεν Ernest. malebat. κλέουσι L. — 46. ζεῦσε C. ἑταῖραι GH et I, sed in hoc corr. a man. sec., ἑτάραι certe ex ABFK enotatum, ἕταραι edd., etiam Meinekii. περιπηχύναντο coni. Ernest. et Valcken. ad Eurip. Hippol. 1432 ex Suid. s. περιπηχύναντες (i. e. frag. Callim. 344), sed vulgatum satis defensum a Mein. allato Rhian. in Anth. Pal. XII 121, 3 καί σε ποτὶ ῥοδέαισιν ἐπηχύναντο χέρεσσιν, et serioris aetatis vocabulo προσαγκαλίζεσθαι. — 47. μελιαῖαι G. δ' ἐκοίμισεν ABdEHIKL, δ' ἐκοίμησεν G, σὲ δ' ἔκομ' Ἀδράστεια λίκνῳ ἐνὶ χρυσέῳ schol. Vatic. in Eurip. Rhes. 338. reliqui codd. et edd. omnes δὲ κοίμισεν, ut schol. Apoll. Rhod. III 133: Καλλίμαχος· σὲ δὲ κοίμισεν Ἀδρήστεια. δὲ κοίμησ' Blomf., contro Callimachi usum. cf. Ludwich. de vers. spond. p. 25. Ἀδράστεια BC. — 48. λείκνω ABCDEFfKM et edd. ante Stephan. λίκνω d, λύκνω GL, item H, sed in hoc correctum λύχνῳ, item I, sed in hoc corr. λείκνῳ. λίκνῳ schol. Vatic. Eurip. Rhes. l. l. idem primus dedit Steph. quem secuti sunt omnes. — σὺ δὲ θήσαο πίονα μαζὸν αἰγὸς Ἀμαλθείης citant Etym. Mag. p. 76, 32 (coll. Cram. Anecd. Paris. IV p. 60) et Apollon. Archib. p. 70 Toll., unde δὲ θήσαο Mein. recepit pro eo quod libri habent δ' ἐθήσαο. ἐθήσσαο DdL. — πίον' ἀμαζὸν H. — 50. πανακίδος G. — 51. ἰδειαις, sed correctum F. — ὄρεσσιν ἅ τε H a man. secunda. Ἰδαίοις ἐν ὄρεσσιν, ἅτε κλείουσι Πάνακρα Stephan. Byz. p. 499, 9.

οὖλα δὲ Κούρητές σε πέρι πρύλιν ὠρχήσαντο
τεύχεα πεπλήγοντες, ἵνα Κρόνος οὔασιν ἠχὴν
ἀσπίδος εἰσαΐοι, καὶ μή σεο κουρίζοντος.
καλὰ μὲν ἠέξευ, καλὰ δ' ἔτραφες, οὐράνιε Ζεῦ.
ὀξὺ δ' ἀνήβησας, ταχινοὶ δέ τοι ἦλθον ἴουλοι·
ἀλλ' ἔτι παιδνὸς ἐὼν ἐφράσσαο πάντα τέλεια.
τῷ τοι καὶ γνωτοὶ προτερηγενέες περ ἐόντες
οὐρανὸν οὐκ ἐμέγηραν ἔχειν ἐπιδαίσιον οἶκον.
δηναιοὶ δ' οὐ πάμπαν ἀληθέες ἦσαν ἀοιδοί·
φάντο πάλον Κρονίδῃσι διάτριχα δώματα νεῖμαι.
Τίς δέ κ' ἐπ' οὐλύμπῳ τε καὶ ἄιδι κλῆρον ἐρύσσαι,
* * * * * * * * * * * *
ὃς μάλα μὴ νενίηλος; ἐπ' ἰσαίῃ γὰρ ἔοικε
πήλασθαι· τὰ δὲ τόσσον ὅσον διὰ πλεῖστον ἔχουσι.
ψευδοίμην γ' ἀίοντος ἅ κεν πεπίθοιεν ἀκουήν.
οὔ σε θεῶν ἐσσῆνα πάλοι θέσαν, ἔργα δὲ χειρῶν,
σή τε βίη τό τε κάρτος, ὃ καὶ πέλας εἵσαο δίφρου.

ὄρεσσι (*οὔρεσσι* I) *τά τε* libri et edd. Ceterum ad hunc locum respicit schol. Pind. Ol. 5, 42: *Ἰδαῖον ἄντρον*] *τὸ Κρητικὸν ὄρος, ἔνθα ἀνετράφη ὁ Ζεὺς ὑπὸ τῶν Κουρήτων φρουρούμενος — μέμνηται δὲ τῆς ἀνατροφῆς τοῦ Διὸς καὶ ὁ Καλλίμαχος ἐν Ὕμνοις.* — 52. *κούρητές σε* CDEHLM, quod coni. Stephan. *κούρητές τε* ABK, *κούρη τίς σε* F. *σε* om. G una cum accentu in syllaba antecedenti. *κουρῆτές σε* I Ald. *κούρητές γε* Frob. Venet. Steph. *κουρῆτές γε* Vasc. Venet. *περὶ πρύλην* (vel *πρύχην*) E. — 53. *πεπλήγοντες* DdGHIL Ald. Frob. Vasc. Steph. *πεπληγότες* ABCEFKMQ. *μὴ σέον* E. — 54. in fine *κνυζείοντος* coni. Mein. *ἵνα Κρόνος οὔασιν ἠχὼ ἀσπίδος εἰσαΐοι καὶ μή σεο κουρίζοντος* citat gram. in Keil. anal. gram. (1848) p. 6. — 55. *ηέξεν* B, *ἠὲ ζεῦ* E. *ἐτράφεν* coni. Dawes. Misc. crit. p. 96, *ἐτράφε'* Wordsworth. ad Theocrit. 3, 16. *οὔνιέ ζεῦ* B. Totum versum spurium iudicarunt Lennep. et Ruhnk. — 56. *ἆρ' ἥβησας* coni. Ruhnk., *μὲν ἡβ.* Blomf. *ταχυνοί* Dd Frob. Vascos. *ταχεινοί* Venet. — 57. *ἐφράσαο* F. — 59. *ἀποδάσμιον* coni. Valcken. *ἐξαίσιον* coni. Mein. *ἐπιδαίσιον οἶκον* hinc habent Callimachi non addito nomine Suid. I 2 p. 397, Etym. M. p. 358, 43, Gud. p. 199, 11, Zonar. p. 791, gram. in Cram. A. O. III p. 434. — 61. *διάτριχα* ABCDdEFIKLM Ald. Frob. Vasc. Venet. *διὰ τρίχα* GH Ernest. Blomf. — 62. *ἐρύσαι* H. Post hunc versum lacunae signum ego posui. — 63. *νενηίλος* G. — 64. *πήλλασθαι* DdM et Frob. Vascos. Venet. *τάδε* et *ὅσσον* E. *ὅσσον* etiam M. *διαπλεῖστον* ABCFM Frob. post hunc v. Reisk. putabat excidisse talem: *οὐκ ἂν ψεύσομ' ἑκών γ'· εἰ δὲ ψεύδεσθαι ἀνάγκη.* — 65. *γ'* ego addidi. *πεποίθοιεν* G. — 66. *οὔ σε θεῶν ἐσσῆνα πάλιν θέσαν* hinc citat Etym. M. p. 383, 27, quae in Etym. Orion. p. 61, 12 ita scripta extant: *οὔ σε θεῶν βασιλίη ἐσσῆνα πάλιοι θέσαν*, in Etym. Florent. p. 235 ita: *ὅς σε θεῶν ἐσσῆν ἀπάλου θέσαν.* — *οὐ σέ* E et Blomf. Mein. *ἐς δῆνα*, sed in marg. *ἐσσῆνα* E. — 67. *ἧ τε Βίη τό τε Κάρτος* cum Bent. dederunt Blomf. et Mein. — *κάρπος* AC et BK, sed in his est *κάρπος* (superscr. *τ*). *ὅ κεν πέλας* E. *ἃ καὶ* con. Arnald., *ὅθεν* con. Blomf. *εἴσαο* ABIKM Ald. Frob. Vasc.

θήκαο δ' οἰωνὸν μέγ' ὑπείροχον ἀγγελιώτην
σῶν τεράων, ἅτ' ἐμοῖσι φίλοις ἐνδέξια φαίνοις.
εἵλεο δ' αἰζηῶν ὅ τι φέρτατον, οὐ σύ γε νηῶν
ἐμπεράμους, οὐκ ἄνδρα σακέσπαλον, οὐ μὲν ἀοιδόν,
ἀλλὰ τὰ μὲν μακάρεσσιν ὀλίζοσιν αὖθι παρῆκας,
ἄλλα μέλειν ἑτέροισι· σὺ δ' ἐξέλεο πτολιάρχους
αὐτούς, ὧν ὑπὸ χεῖρα γεωμόρος, ὧν ἴδρις αἰχμῆς,
ὧν ἐρέτης, ὧν πάντα· τί δ' οὐ κρατέοντος ὑπ' ἰσχύν;
αὐτίκα χαλκῆας μὲν ὑδείομεν Ἡφαίστοιο,
τευχηστὰς δ' ἄρ' Ἄρηος, ἐπακτῆρας δὲ Χιτώνης
Ἀρτέμιδος, Φοίβου δὲ λύρης εὖ εἰδότας οἴμους,
ἐκ δὲ Διὸς βασιλῆας, ἐπεὶ Διός· οὐδὲν ἀνάκτων
θειότερον, τῷ καί σφι τεὴν ἐκρίναο λάξιν,
δῶκας δὲ πτολίεθρα φυλασσέμεν· ἵζεο δ' αὐτὸς
ἄκρῃς ἐν πολίεσσιν, ἐπόψιος οἵ τε δίκῃσι
λαὸν ὑπὸ σκολιῇς, οἵ τ' ἔμπαλιν ἰθύνουσιν.

---

68. *θῆκας* FH et I, sed in hoc corr., *θήκας* GQ. — *οἰωνῶν* coni. Steph. quod receperunt Brunck., Blomf., Mein. — *μέγα ὑπείροχον* E (notante Keil.). *ὑπήροχον* I, sed corr. *ἀ ελιώτην* H. — 69. *ὅς ἐμοῖσι φ. ἐ. φαίνοι* coni. Reisk., *ἅτ' ἐ.... φαίνοι* voluit Valcken. ap. Santen., carm. lat. p. 42. — 71. *οὐδ' ἄνδρα* G. *σακεσπάλον* E (notante Keil.). cf. Reisig. com. crit. in Oed. Col. p. 355 et Lobeck. ad Aiac. p. 230. add. La Roche, Homerische Textkritik, p. 421. *οὐδὲ μὲν ἀοιδόν* FGH. *οὐδέ τ' ἀ.* coni. Lennep. *οὐκ ἀροτῆρα* coni. M. Schmidt. Verisim. p. 31. — 72. *τά μεν* ABK. *ἀντιπαρῆκας* Valcken. ad Hippol. 107. — 73. *μέλλειν* CE (ut refert Keil.) K. *ἑτάροισι* G. *ἑτέροισι* M. — 74. *σαυτῷ, ὧν ὑπὸ* coni. Blomf. *ἴδρις* M. — 75. *πάντα δίδου* E. — 76. *ὑδείοιμεν* E. — 77. *δ' Ἄρηος* libri. corr. Mein. *Ἀρῆος* vitium Ernestianae, quod Blomfieldum aliosque fefellit. — 78. *ἀρτέμιμος* H. — 79. codd. et editt. veter. habent *ἐκ δὲ Διὸς βασιλῆες, ἐπεὶ Διὸς οὐδὲν ἀνάκτων θειότερον. βασιλῆας* ego scripsi. Lennep. ad Phalarid. ep. 20 p. 20 p. 103 coni. *ἐπεὶ δ' ἴδες*, Reisk. *ἐπεὶ κλέος*, Fontein. *ὕπαὶ Διός*, Blomf. *ἅπαὶ Διός*, Paldam. ad Propert. p. 298 *ἔχει Διός*, Bergk. in epist. olim ad me data *ἐπ' οὔδεος*, Perlkamp. ad Xenoph. Ephes. p. 258, item Haupt. in ind. lect. univ. Berol. aest. 1859 p. 4 et Meinek. *ἐπεὶ γένος*, M. Schmidt. in Verisim. p. 31 *ἐπεὶ διά σ' οὐδέν.* Tum *ἄνακτος* Turneb. Advers. XXIX 29, quod olim probavit Ruhnk. postea praeferens Lennepianum. — 80. *τῷ κέ σφι* EGH et I, sed in hoc corr. *καί σφε* coni. Bentl. recepitque Blomf. *λάξιν* ADdE FKLQ et I, sed in hoc ex *λᾶξιν* correctum, Ald. *λᾶξιν* GH Ernest. Blomf. *λέξιν* BC. *τάξιν* M Frob. Vasc. Venet. *λῆξιν* Steph. *λάξιν*, quod recentioris est *Ἰάδος* (cf. Dindorf. com. de dial. Herod. p. XXXIX et Bredow. de dial. Herod. p. 135), primus tacite scripsit Thom. Bentl., tum ego id restituendum monui in Philol. I p. 268 firmavique ibid. VI p. 512, recepit nunc Meinek. ceterum *λάξιν* et *τάξιν* confusa sunt etiam ap. Herodot. cf. Bredow. l. l. — 81. *ἵζεο* libri et edd. nisi quod *ἴζεο* AB. *ἕζεο* Mein. *αὐτοὺς* Venet. — 82. *πολίεσσιν* CDdEIKL Ald. Ven. Vasc. *πολήεσσιν* G. *πτολίεσσιν* ABFHM Frob. Steph. et recentiores usque ad Blomf. *δίκησι* ACDdEGHIKLM Ald. Frob. Ven. Vascos. Steph. *δίκῃσιν* BF Mein. — 83. *ὑποσκολιῇς* Venet. *ἰθύνουσι* E notante Keil.

ἐν δὲ ῥυηφενίην ἔβαλές σφισιν, ἐν δ' ἅλις ὄλβον,
πᾶσι μέν, οὐ μάλα δ' ἶσον· ἔοικε δὲ τεκμήρασθαι
ἡμετέρῳ μεδέοντι· περιπρὸ γὰρ εὐθὺ βέβηκεν·
ἑσπέριος κεῖνός γε τελεῖ τά κεν ἦρι νοήσῃ·
ἑσπέριος τὰ μέγιστα, τὰ μείονα δ' εὖτε νοήσῃ
οἳ δὲ τὰ μὲν πλειῶνι, τὰ δ' οὐχ ἑνί, τῶν δ' ἀπὸ πάμπαν
αὐτὸς ἄνην ἐκόλουσας, ἐνέκλασσας δὲ μενοινήν.
χαῖρε μέγα, Κρονίδη πανυπέρτατε, δῶτορ ἐάων,
δῶτορ ἀπημονίης. τεὰ δ' ἔργματα τίς κεν ἀείδοι;
οὐ γένετ', οὐκ ἔσται· τίς κεν Διὸς ἔργματ' ἀείδοι;
χαῖρε πάτερ, χαῖρ' αὖθι, δίδου δ' ἀρετήν τ' ἄφενός τε.
οὔτ' ἀρετῆς ἄτερ ὄλβος ἐπίσταται ἄνδρας ἀέξειν,
οὔτ' ἀρετὴ ἀφένοιο. δίδου δ' ἀρετήν τε καὶ ὄλβον.

---

84. *ἔβαλες σφίσιν* DGIM Ald. Frob. Vasc. Steph. *ἔβαλές σφησιν* CK. *ὄλβον* DdI a manu sec. M Frob. Steph. *ἐν δὲ ῥυηφενίην ἔβαλέ σφισιν* affert Etym. Florent. p. 262. — 85. *πάσι* M. *ἴσον* F. *οὐχ ἅμα δ' ἶσον* coni. Valcken. sed *οὐ μάλα* est pro *μάλ' οὐ* (Hom. Il. II, 241), ut dicitur *εὖ μάλα* et *μάλ' εὖ* (cf. Dobree ad Arist. Lys. 144 et Schaef. ad Bos. Ell. p. 223 seq.), et *οὐδαμῶς* significat. cf. fragm. CCCCLX Blomf. et Krüger ad Xenoph. Anab. II, 6, 15. — 86. *περὶ πρὸ* libri et edd. *πέρι πρό* voluit Lennep. *περιπρό* Mein. *εὐρύ* libri et edd. omnes, quod correxi. *βέβηκε* G, *βέβικεν* L. — 87. *ἠοῖ νοήσῃ* libri, nisi quod *νοήσει* BCEFGIKL Ald. *ἠοῖ νώσῃ* coni. Faber. *ἠόϊ νώσῃ* Bergk. ad Anacr. p. 94. *τὰ νόησέ κεν ἠοῖ* Camerar. *ἠοῖ τὰ νοήσῃ* vel *ἑσπέριός γε τελεῖ τά περ ἠοῖός κε νοήσῃ* Stephan. *ἦρι νοήσῃ* con. anonym. ap. virum doctum in Miscell. Observ. Amstel. I p. 123 et postea Daves. Miscell. crit. p. 102, quod probaverunt Valcken. epist. ad Ernest. p. 53, Blomf. Mein. — 88. *νοήσει* EHIL Ald. *νοήσοι* G. — 89. *ἀποπάμπαν* d. *πλείωνι* I, *πλείονι* L. — 90. *ἐνέκλασσας* B, *ἐνέκλασας* reliqui codd. et edd. usque ad Brunck. — 91. *παρυπέρτατε* E (secundum Keil). *ἑάων* dE. — 92. *ἔργματα* ABCEFIK Ald. *τίς μὲν* E (notantibus Ruhnk. et Keil.) et K. *ἀείδει* F. *ἀείσει* coni. Heusing. — 93. *οὐδ' ἔσται* GH. *ἔργματ'* ABCEIK Ald. *ἀείσοι* ABCEGKQ, *ἀείσει* DdFHILM Ald. Frob. Venet. Vasc. *ἀείδοι* coni. Stephan. quod cum Heusingero et Meinek. recepi propter antecedentem versum. *ἀείσαι* Blomf. *οὐκ ἔσται τις, ὃ κεν Διὸς ἔ. ἀείδοι* Daves. *οὐκ ἔσται, τίς κεν Δ. ἔ. ἀείσει* Brunck. Contra in superiore versu Goettl. voluit legi *ἔργμαθ' ὅτις κεν ἀείδοι, οὐ γ.* — 94. *αὖθις* Q. *ἄφενόν τε* Blomf. — 95. *ἀρετῆς ἄνευ* M. *ἀρετῆς ἄρτερ* G. vv. 95 et 96 citant Stob. Flor. CIII, 4 et schol. Pind. Ol. II, 93 (coll. v. 96) et ultimo omisso hemistichio schol. Pyth. V, 1. *οὔτ' ἀρετὴ ἀφένοιο* habet Etym. M. p. 178, 6, ubi cod. Flor. p. 56 dat: *οὔτ' ἀρετὴ ἀφένοιο, δίδου δ' ἀρετὴν ἀφενόν τε.*

II.

ΕΙΣ ΑΠΟΛΛΩΝΑ.

Οἷον ὁ τὠπόλλωνος ἐσείσατο δάφνινος ὅρπηξ,
οἷα δ' ὅλον τὸ μέλαθρον. ἑκάς, ἑκάς, ὅς τις ἀλιτρός.
καὶ δή που τὰ θύρετρα καλῷ ποδὶ Φοῖβος ἀράσσει.
οὐχ ὁράᾳς; ἐπένευσεν ὁ Δήλιος ἡδύ τι φοῖνιξ
ἐξαπίνης, ὁ δὲ κύκνος ἐν ἠέρι καλὸν ἀείδει.
αὐτοὶ νῦν κατοχῆες ἀνακλίνεσθε πυλάων,
αὐταὶ δὲ κληῖδες· ὁ γὰρ θεὸς οὐκ ἔτι μακρήν.
οἱ δὲ νέοι μολπήν τε καὶ ἐς χορὸν ἐντύνεσθε.
ὡπόλλων οὐ παντὶ φαείνεται, ἀλλ' ὅτις ἐσθλός.
ὅς μιν ἴδῃ, μέγας οὗτος· ὃς οὐκ ἴδε, λιτὸς ἐκεῖνος.
ὀψόμεθ', ὦ Ἑκάεργε, καὶ ἐσσόμεθ' οὔποτε λιτοί.
μήτε σιωπηλὴν κίθαριν μήτ' ἄψοφον ἴχνος

εις ἀπόλλωνα ABCdGI. *τοῦ αὐτοῦ ὕμνος εἰς ἀπόλλωνα* F. de reliquis non constat. — 1. *ὁ* om. L Ald. *τὠπόλλωνος* BC Mein. *τῶ 'πόλλωνος* ADdEFGHIKLM Ald. Frob. Vasc. Steph. *τ' ὠ πόλλωνος* Venet. *τἀπόλλωνος* Blomf. *ὅρπηξ* F. cf. exc. ad I, 23. — 2. *οἶο δ'* ABCEFK et I, sed in hoc corr. *οἷα*. *οἷον δ'* G. *οἷον ὁ*. R. *οἷα δ'* DdHLM Ald. Frob. Vasc. Steph. et reliquae edit. *οἷον ὅλ.* coni. Valcken. ap. Sant. quod recepit Mein. — 3. *καὶ δὴ καὶ* cod. Fabri (non H), quod probabat Valcken. *θύρατρα* G. *ἀρέσσαι* L. — 4. *ἐπένευσεν* libri scripti et impressi nisi quod E in contextu habet *ἐπέπνευσεν*, sed in margine *ἐπένευσεν*. *ἔπνευσεν* coni. Schneidew. et Hecker. in Phil. III, 479, recepitque Mein. *φοίνιξ* ABCEFIK Ald. Vasc. *φοῖνιξ* DdGHLM Frob. Steph. et recentiores editores ex veterum grammaticorum praeceptis. — 6. *αὐτοί νυν* I. *ἀνακλίεσθε* E, sed in marg. correctum. *αὐτοὶ νῦν κατοχῆες ἀνακλίνασθε θυράων* hinc citat schol. Ambros. ad Theocrit. XI 12 p. 73. — 7. *κληίδες* FM, *κλιῆδες* E. *μακράν* codd. *μακρήν* coni. Mein. p. 303. — 8. *κόρον* E, sed in marg. emendatum *χορόν*. — 9. *ὡπόλλων* DE Venet. *ὠπόλλων* AC. *ὠ 'πόλλων* BFGHIKLM Ald. Frob. Vas. Steph. Ern. *ὦ 'πόλλων* d. *Ἀπόλλων* Blomf. *φαίνεται* H. *ὅστις* EQ et I, sed in hoc σ primum erasum. — 10. *ἴδοι* G et I, sed in hoc corr. in *ἴδει*. *ἴδεν* coni. Blomf. probante Passow. *οὗτος* E. *λειτὸς* hic et in seq. v. scripsit Blomf. — 12. *μήτεσιω πλὴν* H. *κιθάρην* G et I, sed in hoc corr. et in marg. *κύθαριν*. *κύθαριν* etiam D et d, sed in hoc correctum, Ald. Frob. Vasc. Venet.

τοῦ Φοίβου τοὺς παῖδας ἔχειν ἐπιδημήσαντος,
εἰ τελέειν μέλλουσι γάμον πολιήν τε κυρεῖσθαι,
ἑστήξειν δὲ τὸ τεῖχος ἐπ' ἀρχαίοισι θεμέθλοις.
ἠγασάμην τοὺς παῖδας, ἐπεὶ χέλυς οὐκ ἔτ' ἀεργός.
εὐφημεῖτ' ἀίοντες ἐπ' Ἀπόλλωνος ἀοιδῇ.
εὐφημεῖ καὶ πόντος, ὅτε κλείουσιν ἀοιδοὶ
ἢ κίθαριν ἢ τόξα, Λυκωρέος ἔντεα Φοίβου.
οὐδὲ Θέτις Ἀχιλῆα κινύρεται αἴλινα μήτηρ,
ὁππότ' ἰὴ παιῆον, ἰὴ παιῆον ἀκούσῃ.
καὶ μὲν ὁ δακρυόεις ἀναβάλλεται ἄλγεα πέτρος,
ὅστις ἐνὶ Φρυγίῃ διερὸς λίθος ἐστήρικται,
* * * * * * * * * * *
μάρμαρον ἀντὶ γυναικὸς ὀιζυρόν τι χανούσης.
ἰή, ἰὴ φθέγγεσθε· κακὸν μακάρεσσιν ἐρίζειν.
ὃς μάχεται μακάρεσσιν, ἐμῷ βασιλῆι μάχοιτο·
ὅστις ἐμῷ βασιλῆι, καὶ Ἀπόλλωνι μάχοιτο.
τὸν χορὸν ὡπόλλων, ὅτε οἱ κατὰ θυμὸν ἀείδῃ

---

13. *ἐπιδημήσοντος* con. Blomf. — 14. *τελέσειν* con. Bentl. *μέλουσι* G, *τέ* F. *κερεῖσθαι* libri, quod correxi. — 15. *ἑστήξειν* d. *ἑστήξει* coni. Stephan. *στηρίξειν δέ τε τοῖχον* coni. Mein. et *δέ τε* etiam Faber coni., quod Blomf. queritur a se non esse receptum. Cum libris in summa re conspirant versum citantes Herodian. in Ald. Thesaur. cornucop. p. 197 (*ἑστήξειν τὸ τεῖχος ἐπ' ἀρχαίοισι θεμέλοις*) et 209 (*ἑστήξειν τὸ πλῆθος οὐ παρ' ἀρχαίοις θεμέλοις*). Choerobos. in Theodos. p. 596 et 870. Cram. Anecd. Oxon. I p. 374 et IV p. 367. Etym. Gud. p. 173, 57 (*ἑστήξειν δὲ τὸ τεῖχος ἐπ' ἀρχαίοισι θεμελίοις*). gramm. apud Sturz. pone Etym. Gud. p. 662 extr. (*ἑστήξειν τὸ τεῖχος κ. τ. λ.*). Cram. Anecd. Paris. IV p. 231 (*ἑστήξω τὸ τεῖχος κ. τ. λ.*). *θεμείλοις* coni. Dilthey de Cydipp. p. 85. — 16. *ἠγησάμην* A. *ἡγησάμην* BCKL. — 17. *ἀείδοντες* et *ἀοιδοί* G. *ἀοιδῆς* coni. Valck. — 19. *κιθάρην* G, *κύθαρίν* DdI (a man. rec.) LM Ald. Frob. Vasc. Venet. *Λυκώρης, ὅπερ Καλλίμαχος ὀξύνει* Arcad. p. 26, 14 (cf. Ahrens. Bucol. II p. XLII). — 20. *Θέτις φίλον υἷα* con. Wernick. ad Triph. p. 398, cf. ad V, 22. *Ἀχιλέα* I, sed corr. *αἴληνα* ABCK. — 21. *ἵπποθ' ἰή* ABCK nisi quod in AK est *ἴη*, *ὀππότ' ἴη* D (*ὀππόθ' ἵη* d), *ὅπποθ' ἴη* F (et certe *ὀππόθ* etiam Q), *ὀππόθ' ἰή* Ald. et marg. Steph., *ὀππόθ' ἴη* Frob., *ὀππόθ' ἰὴ* Vascos. mox *ἴη* ABdK, *ἵη* FI, *ἵη* d, *ἱὴ* L. — 22. *χ' ὡ μέν* coni. Blomf. ad Aeschyl. Prom. 362. *ἄλλγεα* M. — 23. *διερή* con. Thom. Bentl. — 24. *μάρμαρον* libri. *μάρμαρος* coni. Valcken. recepitque Mein. *μαρμάρου* coni. Thom. Bentl. *μόρμυρον* coni. Reiske. lacunae signa ego posui. — 25. *ἴη ἰῆ* ABDK (*ἵη ἵη* d) Frob. *ἵη ἵη* FIL Ald. *φθέγγεσθαι* H. *μακάρεσιν* H. — 26. *βασιλῆι μάχεται* GHI. *μάχεσθαι* L. — 27. om. CKQ et Blomf. — 28. *ὦ 'πόλλων* A, *ὡ 'πόλλων* BdFHKM Frob. Vasc. *ὠπόλλων* C. *ὡπόλλων* DE. *ἀπόλλων* GIL Ald. *οἱ* om. M. *ὅτι — ἀείδει* libri, nisi quod *ἀείδοι* H. *ὅτις οἱ κ. θ. ἀείδοι* coni. Valcken. *ὅτε — ἀείσει* coni. Pohl., *ὅτε — ἀείσῃ* dedit Mein., cui praetuli *ὅτε — ἀείδῃ*.

τιμήσει· δύναται γάρ, ἐπεὶ Διὶ δεξιὸς ἧσται.
οὐδ' ὁ χορὸς τὸν Φοῖβον ἐφ' ἓν μόνον ἦμαρ ἀείσει·
ἔστι γὰρ εὔυμνος. τίς ἂν οὐ ῥέα Φοῖβον ἀείδοι;
χρύσεα τὠπόλλωνι τό τ' ἐνδυτὸν ἥ τ' ἐπιπορπίς
ἥ τε λύρη τό τ' ἄεμμα τὸ Λύκτιον ἥ τε φαρέτρη,
χρύσεα καὶ τὰ πέδιλα· πολύχρυσος γὰρ Ἀπόλλων,
καί τε πολυκτέανος· Πυθῶνί κε τεκμήραιο.
καὶ μὲν ἀεὶ καλὸς καὶ ἀεὶ νέος· οὔποτε Φοίβου
θηλείαις οὐδ' ὅσσον ἐπὶ χνόος ἦλθε παρειαῖς.
αἱ δὲ κόμαι θυόεντα πέδῳ λείβουσιν ἔλαια.
οὐ λίπος Ἀπόλλωνος ἀποστάζουσιν ἔθειραι,
ἀλλ' αὐτὴν πανάκειαν. ἐν ἄστεϊ δ' ᾧ κεν ἐκεῖναι
πρῶκες ἔραζε πέσωσιν, ἀκήρια πάντ' ἐγένοντο.
τέχνῃ δ' ἀμφιλαφὴς οὔ τις τόσον, ὅσσον Ἀπόλλων·
κεῖνος ὀιστευτὴν ἔλαχ' ἀνέρα, κεῖνος ἀοιδόν, —
Φοίβῳ γὰρ καὶ τόξον ἐπιτρέπεται καὶ ἀοιδή —,
κείνου δὲ θριαὶ καὶ μάντιες· ἐκ δέ νυ Φοίβου

---

29. *ἐπὶ* I. — 30. *οὐ χορός* H. *ἐφ' ἓν* AB. *ἦμαρ* I. — 31. *εὐμνός τις* AB et K, sed in hoc corr. in marg. *ἂν οὔρεα* vel *ἀν' οὔρεα* libri (etiam G?) et edd. veteres usque ad Stephan. emendavit Auratus apud Muret. Var. lect. VII, 7. *Φοῖβος* (ν superscr.) E. *ἀείδει* FGHILM. *ἀείδειν* E. — 32. *τῶ 'πόλλωνι* (vel *τῶ 'πόλλ.* vel *τῴπόλλ.*) libri scripti et editi, etiam Steph. *τἀπόλλωνι* Blomf. *ἔνδυτον* C cf. Lobeck. Paral. p. 491. *ἥτυν' ἐπορπίς* ACK, *ἥτυν' ἐπορπίς* B, *ἐπιπορκίς* G, *ἐπιπορτίς* H. — 33. *τό τε ἄεμμα* G, *ἄημμα* I, *αἷημα* L. *φερέτρη* B. — 34. citat Drac. p. 77. — 35. *καί τε πολυκτέανος· Πυθῶνι δὲ τεκμήραιο* habet Draco p. 77. num *καὶ δὲ*? *πυθῶνι κε* F. *πυθώνικετε μήραιο* H. — 36. *καί κεν* libri et edd. (etiam Draco p. 55, qui totum versum habet) praeter E, in quo est *καί μεν.* et *καὶ μὲν* coni. Belin de Ballu ad Oppian. Cyneg. I p. 85. *καίπερ* voluerat Hoogeven. apud Santen. de illo cf. v. 22 et III, 38 atque Naegelsbach. ad Iliad. p. 165 (I). — 37. *οὐδ' ὅσον* GH. *οὐ τόσσον* coni. Valcken. *ἐπιχνόος* ACK. — 39. *λίπον* (ς superscr.) E. — 40. *ἄστεϊ* certe BCEd, quod primus scripsit Stephan., Ernestius autem sprevit, sed post eum multi commendarunt. cf. Naeke de Hecal. p. 104 et Wordsworth. ad Theocrit. p. XXVIII. *ᾧ κεν ἐκεῖναι πρῶκες ἔραζε πέσωσιν* citat schol. Theocrit. IV, 16. ubi olim edebatur *ὥς κεν* et *πεσοῦσαι.* atque *ὥς κεν* (vel *ὥς κεν*) Ahrens. ad schol. Theocrit. p. 493 a Callimacho scriptum putat pro *οὗ κεν* positum ad Theocriti exemplum (cf. Meinek. ad Theocrit. I, 13). — 41. *πάντα γένοντο* magis probat Mein. cf. ad III, 123. *πάντα γένοιτο* malebat Ernest. — 42. *τόξον* pro *τόσον* M. — 43. 44. transponendos censebat Claussen, quaestion. Herodearum specim. I p. 50. *κεῖνος ὀιστευτὸν ἔλαχεν ῥέα, κεῖνος ἀοιδήν* coni. Scaliger ad Propert. IV, 6, 69 p. 273 probante Ruhnk. v. 44 spurium iudicavit Ruhnk., cuius iudicium sequitur Paldam. in Zimmerm. annal. 1838 p. 1139. duarum recensionum vestigia olim hic deprehendisse sibi videbatur Bergk. cf. ad V 60. — 45. *θρυαὶ* G. versum habet Drac. p. 48.

ἰητροὶ δεδάασιν ἀνάβλησιν θανάτοιο.
Φοῖβον καὶ Νόμιον κικλήσκομεν ἐξέτι κεῖνον,
ἐξότ' ἐπ' Ἀμφρυσσῷ ζευγίτιδας ἔτρεφεν ἵππους,
ἠιθέου ὑπ' ἔρωτι κεκαυμένος Ἀδμήτοιο.
ῥεῖά κε βουβόσιον τελέθοι πλέον, οὐδέ κεν αἶγες
δεύοιντο βρεφέων ἐνιμηλάδες, ᾗσιν Ἀπόλλων
βοσκομένῃς ὀφθαλμὸν ἐπήγαγεν· οὐδ' ἀγάλακτες·
οἴιες οὐδ' ἄκυθοι, πᾶσαι δέ κεν εἶεν ὕπαρνοι.
ἡ δέ κε μουνοτόκος διδυμητόκος αἶψα γένοιτο.
Φοίβῳ δ' ἑσπόμενοι πόλιας διεμετρήσαντο
ἄνθρωποι· Φοῖβος γὰρ ἀεὶ πολίεσσι φιληδεῖ

---

46. *δεδάασσιν* I Ald. *ἀνάκλησιν* ed. Venet. — 47. *ἐξ ἔτι* EM. cf. Lobeck. Elem. I p. 617 et II p. 382. Naek. de Hecal. p. 92. — 48. *ἐξ ὅτ'* M. *ἐξ οὗ* coni. Valcken. Sed. Blomf. quum olim coniecisset *ἐξέτι κεῖνον, ὁππότ'*, ab temerario incepto revocavit Apollonii locus, Argon. IV, 521 *ἐκτόθεν, ἐξότε τούς γε Διὸς Κρονίδαο κεραυνοὶ νῆσον ἐς ἀντιπέραιαν ἀπέτραπον.* add. Lobeck. Elem. I p. 620. *ἀμβρυσσῷ* ABK, *ἀμβρυσῷ* C, *ἀμφρυσῷ* DdFGHM Frob. Vasc. Steph. et recentiores. *ἀμφρυσσῷ* EIL, *ἀμφυσσῷ* Q et Ald. *Ἀμβρυσῷ* primus dedit Mein. coll. L. Dindorf. in Thes. Par. s. v. (add. Lobeck. Proleg. pathol. p. 416), postea tamen *Ἀμβρυσσῷ* praetulit p. 303. Quod in schol. Apollon. Rhod. I, 54 legitur: *Ἄμφρυσσος γράφεται καὶ διὰ τοῦ β̄ —, προπαροξύνεται δὲ ὡς ἐν τῇ η̄ τῆς καθόλου*, de accentu observatio fortasse non ad flumen Thessaliae, sed ad cognominem Phocensium urbem pertinet (cf. Bursian. Geogr. Graec. I p. 183 n. 3). ex Arcad. quidem p. 78 = p. 89, 4 seq. Schm. et Theognost. Cram. A. O. II p. 73, 28 certi nihil colligi potest. *ζευγίτιδας* ABCEFGHIKQ, ut coniecerat Valcken., *ζευγήτιδας* DdLM Ald. Frob. Vas. Steph. Ernest. verum primus dedit Blomf. improbante quidem in censura Passow. sed cf. ad III, 13. — 49. versum citavit schol. D. ad Hom. Il. II, 766, respicit etiam schol. ad Il. XXIII, 383. *ἠιθέω* I. *ἐπ' ἔρωτι* Q. *ἀδικήτοιο* (pro *Ἀδμήτοιο*) H. — 50. *τελέθει* DdGHILM Venet., *τελέθει* (superscr. *οι*) E. — 51. *ἐπιμηλάδες* codd. et edd. veter., quod agnoscit etiam scholiasta, qui *μενεμηλάδες* quoque scribi dicit. *ἐπὶ μηκάδες* coni. Ruhnk., *περὶ μηκάδες* Dobree. Advers. II p. 9, *ἔτι μηκάδες* scripsit Blomf., sed *ἐπιμηλίδες* magis probabat, *ἐριμηκάδες* Mein. *δεύοιντο βρεφέων, Ἐπιμήλιος ᾗσιν Ἀ.* voluit Hecker in Philol. IV p. 480. *ἐμμηλάδες* probavit Passow., *ἐνιμηλάδες* ego scripsi. *οἷσιν* H et I, sed in hoc corr. a man. rec. — 52. *βοσκομέναις* E. *βασκομένῃς* malebat Mein. *ἐπήγασεν* H. *ἀγάλακτες* ABCEGHK et Etym. Magn. p. 55, 11 (coll. Cram. A. P. IV p. 60) et Zonar. I p. 107 (ubi legitur: *οὐδ' ἀγάλακτες ὄϊες οὐδ' ἄκυθοι, πᾶσαι δέ κεν εἶεν ὕπαρνοι*), *ἀγάλακτες*, sed correctum *-οι*, F et I. *ἀγάλακτοι* DdLM Ald. Frob. Vasc. Steph. *ἀγάλακτες* primus dedit Ernest. — 53. *οἴϊες* CEFfHIK Ald. Bentl. Blomf., *ὄϊες* ABDdGLM Frob. Vasc. Steph. Ernest. Mein. *οἰίδες* malebat Blomf. — 54. *ἡ δέ τε* coni. Mein. *μονοτόκος* L. — *διδυματόκος* ABM, ut coni. Steph., quod receperunt Ernest. Mein. *διδυμοτόμος* K. *διδυμοτόκος* CDdEFGHILQ Ald. Frob. Vasc. Venet. Steph. *διδυμητόκος* Blomf. — 55. *ὀπόμενος* H, unde *δὲ σπόμενοι* coni. Mein. — 56. *ἀεί* om. ABCK. *πτολίεσσι* LM Ald. Frob. Vasc. Ven.

κτιζομένης, αὐτὸς δὲ θεμείλια Φοῖβος ὑφαίνει.
τετραέτης τὰ πρῶτα θεμείλια Φοῖβος ἔπηξε
καλῇ ἐν Ὀρτυγίῃ περιηγέος ἐγγύθι λίμνης.
Ἄρτεμις ἀγρώσσουσα καρήατα συνεχὲς αἰγῶν
Κυνθιάδων φορέεσκεν, ὃ δ' ἔπλεκε βωμὸν Ἀπόλλων.
δείματο μὲν κεράεσσιν ἐδέθλια, πῆξε δὲ βωμὸν
ἐκ κεράων, κεραοὺς δὲ πέριξ ὑπεβάλλετο τοίχους.
ὧδ' ἔμαθεν τὰ πρῶτα θεμείλια Φοῖβος ἐρείδειν.
Φοῖβος καὶ βαθύγειον ἐμὴν πόλιν ἔφρασε Βάττῳ,
καὶ Λιβύην ἐσιόντι κόραξ ἡγήσατο λαῷ,
δεξιὸς οἰκιστήρ, καί ῥ' ὤμοσε τείχεα δώσειν
ἡμετέροις βασιλεῦσιν· αἰεὶ δ' εὔορκος Ἀπόλλων.
ὤπολλον, πολλοί σε Βοηδρόμιον καλέουσι,
πολλοὶ δὲ Κλάριον· πάντῃ δέ τοι οὔνομα πουλύ·
αὐτὰρ ἐγὼ Καρνεῖον· ἐμοὶ πατρώιον οὕτω.
*Σπάρτη τοι, Καρνεῖε, τόδε πρώτιστον * * **
** * * * * τόδε πρώτιστον ἔδεθλον,*
δεύτερον αὖ Θήρῃ, τρίτατόν γε μὲν ἄστυ Κυρήνης.

57. *κτιζαμένης* Q, *κτιζομέναις* FGHI Ald. Steph. in marg., Ern. — 58. ante hunc vers. in M repetiti erant vv. 6—19, mox ab ipso librario deleti. *τετραετής* FI. *τετραένης* coni. Valck. praestat fortasse *τετραετής* cf. ad Epigr. dub. I. *ταπρῶτα* DFIM Ald. *τὸ πρῶτον ἐδέθλια* malebat Mein. — 59. *ἔνδοθι* citat Politian. Misc. I, 52. — 60. *ἀγρώσουσα* ABDK Frob. Vasc. Ven. — *κεράατα* coni. Mein. *συννεχές* G. — 61. *φορέεσκε* Q. *ὃ* certe ABC. *ἔπλεκεν* E, *ἔπελκε* M. — 62. *κεράεσσι θεμέθλια* ed. Mein. *τεῦξε δὲ βωμόν* coni. Mein. — 63. *ἐκ κε..ων* mediis literis erasis G. *ἐπεβάλλετο* G (non H ut refert Ern., sed etiam I, in quo tamen *ὑπ* corr. man. rec.). illud voluit etiam Arnald. et edidit Mein. *ὑπερβάλλετο* E. *περιβάλλετο* coni. Pohl. *περιβάλλετο τριγχούς* coni. Valcken. et *τριγχούς* malebat etiam Mein. — 64. *ταπρῶτα* DIM Ald. *θεμείλα* I, *θημείλια* L. *τὸ πρῶτον ἐδέθλια* coni. Mein. *ἐγείρ͂* B, *ἐγείρων* CK, quod recepit Sant. *ἐρείδων* coni. Luzac., *ὑφαίνειν* Ahlwardt., *ἐρείδειν* Schmidt. Veris. p. 31, codd. *ἐγείρειν*. spurium iudicavit versum Ruhnk. — 65. *βαθυλῆον* coni. Valck. *ἐμῷ* coni. Santen. *ἔφθασε* ABCK. *ματτω* B, *βάττων* K. — 66. *ἡγήσατο βάττω* G. — 67. *οἰκιστῆρι καὶ ὤμοσε* (quod recep. Mein.) vel *οἰκιστὴρ καί τ' ὤ.* vel *οἰκιστὴρ καὶ ἐπώμοσε* coni. Bentl. ultimum vel *καὶ τείχεα δ' ὤμ.* malebat Reisk. *οἰκιστήρ, ἐπὶ δ' ὤ.* Valcken. *οἰκιστήρ, ὃ καὶ ὤμ.* Volckmann. Comment. epic. p. 35. *καί ῥ' ὤμοσε* coni. Mein., quod recepi. *τάχεα* H. — 69. *ὤ ̓πολλον* ABCFIKM Frob. Steph. *ὦ 'πόλλον* Ald. *ὦ 'πολλον* DGHL Vasc. *ὢπολλον* dE. *πολλοὶ σέ* E. *βοηδόμον* BC. — 70. *πολλοὶ* (*ὺ* superscr.) G. *δέ σοι* Venet. — 71. *πατραίον* H. — 72. *τόδε* libri scripti et impressi. *τεὸν* voluit Valcken., *πέλε* Ruhnk., *ποτὲ* Eldik., *τόγε* Ernest., *πάλαι* Reisk. (nisi *Σπάρτῃ — Θήρῃ* scribendum sit), *πάλαι ποτὲ πρῶτον* Brunck. *πολὺ* con. Mein. ego lacunae signa posui. — 73. *ἔδεθλον* AB (cf. Lentz. Pneumat. p. 694 et 793). — 74. *γέ μεν* ABCK et F, *γ' ἐμόν* Lennep. sed de particulis *γὲ μέν* cf. Buttmann. exc. I ad Arat. p. 53 seq. *Κυρήνην* ABCK, *Κυ-*

ἐκ μέν σε Σπάρτης ἕκτον γένος Οἰδιπόδαο
ἤγαγε Θηραίην ἐς ἀπόκτισιν· ἐκ δέ σε Θήρης
οὖλος Ἀριστοτέλης Ἀσβυστίδι πάρθετο γαίῃ.
δεῖμε δέ τοι μάλα καλὸν ἀνάκτορον· ἐν δὲ πόληι
θῆκε τελεσφορίην ἐπετήσιον, ᾗ ἔνι πολλοὶ
ὑστάτιον πίπτουσιν ἐπ' ἰσχίον ὦ ἄνα ταῦροι.
ἰὴ ἰὴ Καρνεῖε πολύλλιτε, σεῖο δὲ βωμοὶ
ἄνθεα μὲν φορέουσιν ἐν εἴαρι, τόσσα περ ὧραι
ποικίλ' ἀγινεῦσι Ζεφύρου πνείοντος ἐέρσην,
χείματι δὲ κρόκον ἡδύν. αἰεὶ δέ τοι ἀέναον πῦρ,
οὐδέ ποτε χθιζὸν περιβόσκεται ἄνθρακα τέφρη.
ἦ ῥ' ἐχάρη μέγα Φοῖβος, ὅτε ζωστῆρες Ἐνυοῦς,
ἀνέρες ὠρχήσαντο μετὰ ξανθῇσι Λιβύσσαις,
τέθμιαι εὖτέ σφιν Καρνειάδες ἤλυθον ὧραι.
οἳ δ' οὔπω πηγῇσι Κύρης ἐδύναντο πελάσσαι
Δωριέες, πυκινὴν δὲ νάπαις Ἄζιλιν ἔναιον.
τοὺς μὲν ἄναξ ἴδεν αὐτὸς, ἑῇ δ' ἐπεδείξατο νύμφῃ
στὰς ἐπὶ Μυρτούσης κεραώδεος· ἧχι λέοντα

ῥήνῃ cum Graev. malebant Santen. Thomas Bentl. Blomf. — 74. hunc v. cum sequentibus usque ad *Ἀριστοτέλης* citat schol. Dionys. Perieg. 213. *ἐκ μέν σε Σπάρτης ἕκτον γένος* habet schol. Pind. Pyth. 99, eadem usque ad *Οἰδιπόδαο* Lascar. gram. p. 61 rect. (ed. Venet. 1512). — 75. *ἐκ δέ τε* Valcken. *θηρέην* I. *ἀπώκτισιν* Ald. *ἀποίκισιν* coni. Faber. sed cf. L. Dindorf. in Thes. Par. I, 2 p. 1507. — 76. *ἀσβιστίδι* G. *σε Λιβυστίδι* Valcken. *Ἀσβύστιδι* Ald. — 79. *ἐπ' ἴχνιον* coni. Mein. — 80. *ἰὴ ἰῆ* BCFIK, *ἴῆ* A, *ἰὴ* DdEGKLM et hic etiam Frob. cf. ad 21 et 25. *πολύλλιστε* CEFKQ, *πολύλιτε* HI Ald., *πολύτιτε* G. *βωμοῖς* edid. Mein. — 81. *τόσσά περ* ABCK. — 82. hunc versum habet Drac. p. 13. *ποικίλα γεννῶσιν* coni. Scheer, Callim. *ὁμηρικός* p. 19. *ἔρσην* E. *ἐέρσην* Id. — 83. *ἀένναον* FH. — 84. *τέχνῃ* G, sed ita ut ex *χ* factum *φ*. — 85. citat Drac. p. 43. *βοῖβος* et *ἐννοῦς* H. *δρηστῆρες* voluit Mein. — 86. *ξανθαῖσι λιβύσσαις* G et *λιβύσσαις* etiam HI, vulgo *Λιβύσσης*. — 87. *τέθμειαι εἴτε* G. — 88. *οἱ δ' οὔπω πηγαῖσι Κυρῆς ἐδύναντο πελάσσαι Δωριέες* hinc habet schol. Pind. Pyth. IV 523, qui firmat quod in Philol. I p. 261 conieci scribendum esse *πηγῇσι*. libri habent *πηγῆς*. *κυρνῆς* GHIL Steph. in marg. Ald. Vasc. *ἠδύναντο* GH. *πελάσαι* L. — 89. *δωριέαις* G. *πυκινὸν* FGH. *ἄζυλιν* FGHI, *ἄζιριν* Steph. in marg. cf. Steph. Byz. p. 32, 11 coll. Mein. ad Steph. p. 76, 10 et Lobeck. Proleg. Path. p. 135. add. Thrige, de rebb. Cyrenens. p. 51 n. 8. — 90. *αὐτόσ'* coni. Hemst. *αὐτοῦ* Brunck. *αὐτόθ'* edidit Mein. — 91. *Μυρτούσης* omn. praeter F, Steph. in marg. et Blomf. qui *Μυρτούσσης* habent, ut olim etiam legebatur in Steph. Byz. p. 464 voluitque Valck. illud docte defendit Mein. add. Bernhardy ad Dionys. 456. *κερατώδεος* libri. corr. Mein. *ἦχι* certe ABIK. cf. ad I 10. *ἡ ῥα λέοντα* H, *ἔνθα λέοντα Τρῆις κατέπεφνε βοῶν σίνιν Εὐρυπύλοιο* citat schol. Pind. Pyth. IX 45. reliquis omissis *βοῶν σίνιν Εὐρυπύλοιο* hinc affert schol. Apoll. Rhod.

Ὑψηὶς κατέπεφνε, βοῶν σίνιν Εὐρυπύλοιο.
οὐ κείνου χορὸν εἶδε θεώτερον ἄλλον Ἀπόλλων,
οὐδὲ πόλει τόσ' ἔνειμεν ὀφέλσιμα, τόσσα Κυρήνῃ,
μνωόμενος προτέρης ἁρπακτύος. οὐδὲ μὲν αὖτε
Βαττιάδαι Φοίβοιο πλέον θεὸν ἄλλον ἔτισαν.
ἰὴ ἰὴ παιῆον ἀκούομεν, οὕνεκα τοῦτο
Δελφός τοι πρώτιστον ἐφύμνιον εὕρετο λαὸς,
ἦμος ἑκηβολίην χρυσέων ἐπεδείκνυσο τόξων.
Πυθώ τοι κατιόντι συνήντετο δαιμόνιος θὴρ,
αἰνὸς ὄφις. τὸν μὲν σὺ κατήναρες ἄλλον ἐπ' ἄλλῳ
βάλλων ὠκὺν ὀιστόν· ἐπηΰτησε δὲ λαὸς
ἰὴ ἰὴ παιῆον, ἵει βέλος· εὐθύ σε μήτηρ
γείνατ' ἀοσσητῆρα· τὸ δ' ἐξέτι κεῖθεν ἀείδῃ.
ὁ Φθόνος Ἀπόλλωνος ἐπ' οὔατι λάθριος εἶπεν,
οὐκ ἄγαμαι τὸν ἀοιδόν, ὃς οὐδ' ὅσα πόντος ἀείδει.
τὸν Φθόνον ὡπόλλων ποδί τ' ἤλασεν ὧδέ τ' ἔειπεν,
Ἀσσυρίου ποταμοῖο μέγας ῥόος, ἀλλὰ τὰ πολλὰ
λύματα γῆς καὶ πολλὸν ἐφ' ὕδατι συρφετὸν ἕλκει.
Δηοῖ δ' οὐκ ἀπὸ παντὸς ὕδευς φορέουσι μέλισσαι,

IV 1561. — 92. *ὑψιὴς* ABCK. — 93. *ἴδε* ABCEKQ. — 94. *τότ'* G. *ἔδειμεν* CEFGHIK. *ἵνειμεν* Ald. *ὀφέλσιμά γ' ὅσσα* malebat Reiske. — 95. *αὐτοί* libri. *αὖ τοί* voluit Mein. correxi *αὖτε.* — 96. *φοίβω πλέον* E. *φοίβου πλεῖον* ed. Venet. *ἔτισσαν* BC. — 97. *ἰῆ ἰῆ* ABCFK, *ἱῆ ἱῆ* F, reliqui *ἰὴ ἰὴ. παιήον'* I. *εἵνεκα* G, quod recepit Mein. — 98. *Δέλφός τοι* d. *πρῶτον* GH. — 99. *ἐπεδείκνυο* G, *ἐπεδείκνυτο* Froben. Vasc. Venet. — 100. hunc versum et reliqua usque ad *ἵει βέλος* habent schol. Aristoph. Pac. 453, sed nec Ravenn. nec Venet. *πηθώ* H. *Πυθῶ* D. — 102. *ἐπήτησε* B. *ἐπηύτησε δὲ λαὸς* fortasse hinc sumsit Quint. Smyrn. IV 262. — 103. in *ἰὴ ἰὴ* eadem hic varietas codd. quae v. 97. pro *ἵει* dat *ἴει* A. *παιηόν'* I. *εὐθύδε* H. *εὐθύς ἑ* coni. Abresch. Dilucid. Thucyd. p. 198, sed cf. Lobeck. ad Phryn. p. 145. — 104. *τόδ'* ed. Ven. 1555. *ἐξ ἔτι* IM Ald. Frob. *ἀείδει* GHIL Steph. in marg. Ald. Vasc. — 105. *ὁ* libri, quod correxi. *ἐπ' οὔατα* libri. *ἐς οὔατα* coni. Daves. Miscell. p. 106 probatum Valcken. ad Hippol. 932, Porson. Advers. p. 273 Lips., aliis. *ἐπ' οὔατι* coni. Hecker. comm. p. 64, quod recepit etiam Mein. *εἶπε* G. — 106. *οὐκ ἄγαμ' ἑτόν* H. *οὐδ' ὅσα* libri scripti et editi. *οὐχ ὅσα* Reisk. et Daves. l. l., ut scripserat Scaliger ad Catull. p. 112 et p. 122. *οὐ τόσα* coni. Mein. — 107. *ὠ' πόλλων* AK, *ὠ 'πόλλων* BCdFGHILM Ald. Frob. Vasc. Steph. *ὡπόλλων* E. *ἁπόλλων* Blomf. (D?). *Ἀπόλλων* Mein. *ἤλασε* K. *ὧδε τε* certe ABCIK. *τε εἶπε* G. — 109. *λύμματα* GIL et Venet. 1555. *ὕδασι* E. *συφερτὸν* L. — 110. *δηοῖ* ABCFGHK Steph. *δαοῖ* E. in I *δηοῖ* prima man. sed *η* corr. ex *α* aut *ο*. *δοιηι* D, *δοιῇ* dM Ald. Frob. Vasc., *δοίη* Venet. 1555, unde *Δῃοῖ* scribendum putarem, si maior horum librorum auctoritas esset. Et Lascaris Gramm. p. 97 adv. (ed. Ald. 1512) *Δηῴ ἡ Δημήτηρ*, inquit, *ὑπογράφεται, ὡς ἔνιοί φασιν, ἀπὸ τοῦ δαίω· ὅπερ οἱ πλεῖστοι οὐ παραδέχονται.* cf. Herodian I p. 347, 11 Lentz. cf. ad Nicandr. p. 282 et Iacobs. ad Anthol. Pal. I 5, 6 et IX 21, 6. *παντὸς*

ἀλλ' ἥτις καθαρή τε καὶ ἀχράαντος ἀνέρπει
πίδακος ἐξ ἱερῆς ὀλίγη λιβάς, ἄκρον ἄωτον.
χαῖρε ἄναξ, ὁ δὲ Μῶμος, ἵν' ὁ Φθόνος, ἔνθα νέοιτο.

ὕδωρ libri. *πόντου ὕδωρ* coni. Dilthey Anal. Callim. p. 35. *παντὸς ὕδευς* ego. — 111. *ἀνέλπει* B, sed *ἀνέρπει* cum reliquis libris (etiam I) firmat etiam Hesychii glossa hinc ducta: *ἀνέρπει· ἀνέρχεται.* versum respicit Agathias Histor. II 30. — 112. *λυβάς* ACK, *λυμάς* B, *λιβάς* reliqui, etiam I. — 113. *φθόρος* ABCDdEFGHKM Frob. Steph. *φθόνος* IL Ald. Vascos. Venet. 1555. Steph. in marg. et schol. Gregor. Nazianz. in catalog. mss. Clark. p. 35. *ἵν' οὐ φθόνος* coni. Heusinger et Dilthey. Anal. Call. p. 34. *ναίοιτο* F et G, sed in hoc correctum, *νεύοιτο* schol. Greg.

III.

ΕΙΣ ΑΡΤΕΜΙΝ.

Ἄρτεμιν — οὐ γὰρ ἐλαφρὸν ἀειδόντεσσι λαθέσθαι —
ὑμνέομεν, τῇ τόξα λαγωβολίαι τε μέλονται
καὶ χορὸς ἀμφιλαφὴς καὶ ἐν οὔρεσιν ἑψιάασθαι,
ἄρχμενος ὡς ἅτε πατρὸς ἐφεζομένη γονάτεσσι
παῖς ἔτι κουρίζουσα τάδε προσέειπε γονῆα,
'δός μοι παρθενίην αἰώνιον, ἄππα, φυλάσσειν,
καὶ πολυωνυμίην, ἵνα μή μοι Φοῖβος ἐρίζῃ.
δὸς δ' ἰοὺς καὶ τόξα — ἔα πάτερ, οὔ σε φαρέτρην,
οὐδ' αἰτέω μέγα τόξον (ἐμοὶ Κύκλωπες ὀιστοὺς
αὐτίκα τεχνήσονται, ἐμοὶ δ' εὐκαμπὲς ἄεμμα),
ἀλλὰ φαεσφορίην τε καὶ ἐς γόνυ μέχρι χιτῶνα
ζώννυσθαι λεγνωτόν, ἵν' ἄγρια θηρία καίνω.

εἰς ἄρτεμιν ABCdFGI, de reliquis non constat. — 1. *οὐ* om. R. *ἐλαφρὸς* con. Blomf. *ἀειδόντεσι* M. — 2. *τόξ' ἐλαφηβολίαι τε* coni. Mein. *τόξα ἐκηβολίαι τε* coni. M. Schmidt. Verisim. p. 30. — 3. *ἀμφιλαβής* H. *ἐψιάασθαι* (ut Ernest. Blomf. Meinek. ediderunt) habere videntur ABCDGHL, *ἑψιάασθαι* habent dEFM Frob. Vasc. Steph., *ὑψιάασθαι* I (sed in marg. man. ead. additum *γρ. ἑψιά*) Ald. sed cf. ad V, 39. — 4. *ἀρχόμενος ὡς ὅτε* ABC, et AB quidem ita ut post *ὡς* sit interpunctio media. *ἀρχόμενοι ὡς ὅτε* DdEFGHILM Ald. Frob. Vasc. Venet. *ἀρχόμενοι καί* Q. *ἀρχόμεν' ὡς ὅτε* Steph. Ernest. *ἄρχμενοι ὡς ὅτε* Blomf. *ἄρχμενοι ὡς τότε* coni. Pohl. *ἄρχμενοι ὥς ποτε* cum Herm. Mein. *ἄρχμενοι ὡς ὅτι* ego olim conieci, nunc *ἄρχμενος ὡς ἅτε* praetuli. *γονάτεσσιν* B. — 5. *τὰ δὲ* ABC, et AB ita ut praecedat interpunctio maxima. — 6. *ἄπτα* FK, *ἄττα* GHIL Ald. et marg. Steph. cf. Nauck. de Arist. Byz. p. 155. — 7. *δὸς πολυωνυμίην* coni. Mein. *ἵνα μή μοι ὁ Φοῖβος* con. Wordsworth. ad Theocr. p. XXVIII, *ἵνα μὴ Φοῖβός μοι* Volkmann. Comm. epic. p. 21. — 8. *δὸς δ' ἰοὺς καὶ τόξα* libri (nisi quod I habet *ὀούς* in *ἰοὺς* correctum) et Drac. Strat. p. 54. *ἀλλ' ἰοὺς* malebant Mein. et M. Schmidt. *τόξ'· ἀλλ' ἔα πάτερ* olim coni. Mein., qui nunc cum Ruhnk. et Blomf. (add. Wernick. ad Triphiod. p. 41) dedit *τόξον ἔα.* pro *ἔα πάτερ* Ruhnk. malebat *εὔπτερον.* *ἔα πάτερ* ABCE. *οὐ σὲ* Blomf. Mein. — 10. *ἄημμα* IL. — 11. *δὸς δὲ φα.* Schmidt. Veris. p. 31. *φαεσφορίην τὲ* AB Frob. Vasc. — 12. *ζώγνυσθαι* ABC, *ζώνυσθαι* DdM Frob. *λεωγνὸν* G.

δός δέ μοι ἑξήκοντα χορίτιδας Ὠκεανίνας,
πάσας εἰνετέας, πάσας ἔτι παῖδας ἀμίτρους·
δός δέ μοι ἀμφιπόλους Ἀμνισίδας εἴκοσι νύμφας,
αἵ τέ μοι ἐνδρομίδας τε, καὶ ὁππότε μηκέτι λύγκας
μηδ' ἐλάφους βάλλοιμι, θοοὺς κύνας εὖ κομέοιεν.
δός δέ μοι οὔρεα πάντα· πόλιν δέ μοι ἥντινα νεῖμον,
ἥντινα λῇς· σπαρνὸν γάρ, ὅτ' Ἄρτεμις ἄστυ κάτεισιν.
οὔρεσιν οἰκήσω, πόλεσιν δ' ἐπιμίξομαι ἀνδρῶν
μοῦνον ὅτ' ὀξείῃσιν ὑπ' ὠδίνεσσι γυναῖκες
τειρόμεναι καλέουσι βοηθόον, ᾗσί με Μοῖραι
γεινομένην τὸ πρῶτον ἐπεκλήρωσαν ἀρήγειν,
ὅττι με καὶ τίκτουσα καὶ οὐκ ἤλγησε φέρουσα
μήτηρ, ἀλλ' ἀμογητὶ φίλων ἀπεθήκατο γυίων'.
ὣς ἡ παῖς εἰποῦσα γενειάδος ἤθελε πατρὸς
ἅψασθαι, πολλὰς δὲ μάτην ἐτανύσσατο χεῖρας,
μέχρις ἵνα ψαύσειε. πατὴρ δ' ἐπένευσε γελάσσας·
φῆ δὲ καταρρέζων, 'ὅτε μοι τοιαῦτα θέαιναι
τίκτοιεν, τυτθόν κεν ἐγὼ ζηλήμονος Ἥρης

---

13. *χορίτιδας* ABCD(?)EF, *χορήτιδας* dGHILM Ald. Frob. Vasc. Steph. Ern. — 14. *εἰνατέας* ABC, reliqui codd. et edd. *εἰνέτεας*, quod in *οἰέτεας* mutavit Ruhnk. probatum Blomf. *εἰναέτεας* coni. Hecker. Com. Call. p. 60, quod recepit Mein. *εἰνέτεας ἔτι πάσας ἀμίτρους* G. *εἰνέτεας ἔτι παῖδας ἀμιτραίους* H. — 15. *Ἀμνισίδες* hinc habere videtur Steph. Byz. p. 86, 6. — 16. *ἐνδρομάδας* ABCFGIQ (de E et H quibus idem tribuit Ern., tacent Pohle et Mehler). *αἵ τ' ἐμοὶ ἐνδρομίδας τε καὶ ὁππότε μηκέτι λύγκας* citat Etym. Florent. p. 111. — 17. *μήτ'* omnes, quod correxi. *βάλοιμι* GI Ald. *βάλλωμι* suasit Thiersch. Act. Monac. I p. 209. *θοούς* ABCDEL et edd. vet., sed in B ex *θοάς* correctum, *θεούς* d, *θοάς* FGI (sed de H, ex quo idem enotatum habebat Ernest., Mehler. tacet), item Blomf. et Mein. *εὐκομέοιεν* ABEFI Ald. — 18. *πάντα* om. G. *πόλιν δὲ μίην τινά* vel *πόλιν δέ μοι ἥντινα*; coni. Steph., *πόλιν δὲ μίαν τινά* voluit Cobet. Mnem. X p. 392 et 418 propter v. 33. *ἥν τινα* Abresch. Diluc. Thucyd. p. 319. — 19. *σπανόν* Q. — 20. *πόλεσι* Frob. Vasc. — 21. *ὀξείῃσιν* FGHI. *ὀξείαισιν* BCDd LM Ald. Frob. Vasc. Ven. Steph. *ὀξείεσσιν* EQ. *ὀξείεσιν* f. *ὀξείεισιν* A. *ὠδίναισι* BCL. — 22. *καλέσουσι* coni. Steph., *καλέσωσι* Brunck. *ἧσι με* F. *οἷσι με* G. *βοηθίον* M Venet. — 23. *τὸ πρῶτον* ABCdE, *τοπρῶτον* DFGHILM Ald. Vasc. Steph. Ern. — 24. *ὅτι* M. — 25. *ἀλλά μοὶ ητί* L. *γυίων* ABCDdEFGHIQ Mein., *κόλπων* LM Ald. Frob. Vasc. Steph. Ern. Blomf. — 26. *ὡς* B. — 27. *πολλὰ* FGHI, *πολιάς* Steph. in marg., *ἁπαλὰς* vel *παιδνάς* coni. Ruhnk. *ἐτανύσατο* F. *ἀπενεύσατο* etiam scriptum inveniri dicit Steph. (nisi hoc ad sequentem versum pertinet). — 28. *λέχρις ἵνα* coni. Valcken. *ψεύσειε* F. *ψαύεσκε* coni. Mein. *γελάσας* F. — 29. *ὅτι* ABCEFGHIQ Ald. Vasc., *ὅτε* DdLM Frob. Steph. et recentiores omnes. post haec versum excidisse putat Mein., cui assentitur M. Schmidt., Veris. p. 30, nisi pro *θέαιναι* scribendum sit *σύνευνοι*. — 30. *μὲν ἐγώ* G. *ληξήμονος* ABC.

χωομένης ἀλέγοιμι. φέρευ τέκος ὅσσ' ἐθελημὸς
αἰτίζεις, καί τ' ἄλλα πατὴρ ἔτι μείζονα δώσει.
τρὶς δέκα τοι πτολίεθρα καὶ οὐχ ἕνα πύργον ὀπάσσω, —
τρὶς δέκα τοι πτολίεθρα, τὰ μὴ θεὸν ἄλλον ἀέξειν
εἴσεται, ἀλλὰ μόνην σέ, καὶ Ἀρτέμιδος καλέεσθαι, —
πολλὰς δὲ ξυνῇ πόλιας διαμετρήσεσθαι
μεσσόγεως νήσους τε· καὶ ἐν πάσῃσιν ἔσονται
Ἀρτέμιδος βωμοί τε καὶ ἄλσεα. καὶ μὲν ἀγυιαῖς
ἔσσῃ καὶ λιμένεσσιν ἐπίσκοπος'. ὣς ὃ μὲν εἰπὼν
μῦθον ἐπεκρήηνε καρήατι. βαῖνε δὲ κούρη
λευκὸν ἐπὶ Κρηταῖον ὄρος κεκομημένον ὕλῃ,
* * * * * * * * * * *
ἔνθεν ἐπ' Ὠκεανόν· πολέας δ' ἐπελέξατο νύμφας,
πάσας εἰνετέας, πάσας ἔτι παῖδας ἀμίτρους.
χαῖρε δὲ Καίρατος ποταμὸς μέγα, χαῖρε δὲ Τηθύς,
οὕνεκα θυγατέρας Λητωίδι πέμπον ἀμορβούς.
αὖθι δὲ Κύκλωπας μετεκίαθε. τοὺς μὲν ἔτετμε
νήσῳ ἔνι Λιπάρῃ (Λιπάρῃ νέον, ἀλλὰ τότ' ἔσκεν
οὔνομά οἱ Μελιγουνίς) ἐπ' ἄκμοσιν Ἡφαίστοιο

31. ἐθελημάς I, ἐθελημός reliqui libri. ἐθελημοῦ vel ἐθελημόν coni. Reisk. — 32. αἰτίξεις ABC. καί τ' ABC, καὶ δ' reliqui codd. et edd., praeter Blomf. — 33. πῦργον I. — 35. μόνης σέθεν G, μόνης σε I. μόνον ed. Tauchn. — 36. παλλὰς δὲ GH. διαμετρήσασθαι codd. et edd. et Draco, διαμοιρήσασθαι ed. Mein., nisi Διὶ μοιρήσασθαι scribendum sit. δὲ πτολίας ξυνῇ διαμ. coni. Volkmann. com. ep. p. 19. διαμετρήσεσθαι ego dedi. versum profert Drac. p. 70. — 37. μεσόγεως AEFf, μεισόγεως BC. νύσους τε ABC, νήσούς τε E. ἐν ἀπάσῃσιν ABCDdEFGHIL Ald. Frob. Steph. ἐν ἀπάσῃσιν M. εἰν ἀπάσῃσιν Vasc. Venet. corr. Nansius ad Nonn. Par. I 189. idem vitium etiamnum legitur in Sylburgii editione Apollinar. CXLIV, 26: αἰεὶ κοιρανίῃ ἁπάσης μεδέουσα γενέθλης. — 38. κῶμοι τε E, sed in margine correctum βωμοί τε. illud habent etiam Ff. — 39. ὥς certe AC, ὡς B et alii. — 40. ἀπεκρήηνε ABC, ἐπικρήηνε FGH. Hesych. II p. 141 ἐπεκρήηνεν· ἐπετέλεσεν. ἐπεκύρωσεν· ἐβεβαίωσεν. δέ om. ABC. — 41. ἐπὶ certe ABGI Ald. Frob. Vasc. ἔπι reliqui ut videtur. κεκομμένον GH. Post hunc versum lacunae signum ego posui. — 42. πολλάς voluit Brunck. ad Apoll. Rhod. III 21. ἐπελάξατο A. — 43. εἰνετέας AB, εἰνέτεας reliqui. cf. ad v. 14. οἰέτεας cum Ruhnk. Blomf. — 44. κέρατος GHI. μέγας EGI. τηθές H. — 45. Λητωΐδι θυγατέρας DdM Venet. 1555. Frob. Vasc. Steph. I. quod suopte ingenio emendavit G. Canter. nov. lect. IV 23. πέμπειν AB, πέπεν M, πέμπεν reliqui. οὕνεκ οὐ Λητοίδι πέμπον ἀμορβοῦς hinc affert schol. Nicandr. Ther. 349. et πέμπον coni. etiam Reisk. ἀμορφούς Q. — 46. αὐτίκα δὲ pro αὖθι δέ G. αὖτι I. ἔτετμε ABCDdFGHLM et edd. vett. ἔτετμεν E et Mein. — 47. νήσῳ ἐν Λιπάρῃ hinc profert schol. Apoll. Rhod. III 41. Λιπάρῃ om. Vasc. et Venet. 1555, eadem haec mox ἔσικεν. ἔσκε G. — 48. μεγουνίς G. Μελιγουνίς hinc habet Steph. Byz. p. 442, 9 et schol. Thucyd. 3, 88. ἐπ' ἄκμοσι δ' coni. Ernest. ἐπ' ἄκμοσιν καὶ φαίστου ἑταότας περὶ μύδρον

ἑσταότας περὶ μύδρον· ἐπείγετο γὰρ μέγα ἔργον·
ἱππείην τετύκοντο Ποσειδάωνι ποτίστρην.
αἱ νύμφαι δ' ἔδδεισαν, ὅπως ἴδον αἰνὰ πέλωρα,
πρηόσιν Ὀσσαίοισιν ἐοικότα — πᾶσι δ' ὑπ' ὀφρὺν
φάεα μουνόγληνα, σάκει ἴσα τετραβοείῳ,
δεινὸν ὑπογλαύσσοντα —, καὶ ὁππότε δοῦπον ἄκουσαν
ἄκμονος ἠχήσαντος ἐπὶ μέγα, πουλύ τ' ἄημα
φυσάων, αὐτῶν τε βαρὺν στόνον· αὖε γὰρ Αἴτνη,
αὖε δὲ Τρινακίη, Σικανῶν ἕδος, αὖε δὲ γείτων
Ἰταλίη, μεγάλην δὲ βοὴν ἐπὶ Κύρνος ἀύτει,
εὖθ' οἵ γε ῥαιστῆρας ἀειράμενοι ὑπὲρ ὤμων
ἢ χαλκὸν ζείοντα καμινόθεν ἠὲ σίδηρον
ἀμβολαδὶς τετύποντες ἐπὶ μέγα μοχθήσειαν.
τῷ σφέας οὐκ ἐτάλασσαν ἀκηδέες Ὠκεανῖναι
οὔτ' ἄντην ἰδέειν οὔτε κτύπον οὔασι δέχθαι.
οὐ νέμεσις· κείνους γε καὶ αἱ μάλα μηκέτι τυτθαὶ
οὐδέποτ' ἀφρικτὶ μακάρων ὁρόωσι θύγατρες.
ἀλλ' ὅτε κουράων τις ἀπειθέα μητέρι τεύχοι,

---

citat Etym. Florent. p. 218. — 49. *μῦδρον* I. — 50. *ποσειδάονι* FM Frob. — 51. *αἳ νύμφαι* ABC. *ἔδεισαν* ABCFGL Ald. — 52. *ὀσσείησιν* FGHL Steph. in marg. Ald. Vasc., *ὀσσείοισιν* reliqui. emend. Mein. *ἐοικότας* ABDdEFGHI Ald. Frob. Vasc. Venet., *ἐεικότας* C. emend. Stephan., fortasse e libro suo, nam etiam LM ita habent. — 53. *μονόγληνα* d (D?). *σόκει* A. *ἶσα* ACF. — 54. *ὑπογλαύσοντα* codd. et edd. veteres. emend. Bentl. et Blomf. duplex σσ agnoscit Herodian. *περὶ μον. λέξ.* p. 40, 27. *ὑπογλαύσαντο* coni. Arnald. *ὁπότε* G. — 55. *ἐπεὶ μέγα* libri et edd. veteres omnes videntur habere, nisi forte *ἐπὶ μέγα*, quae est Bentl. emendatio, habent GL. *πολύ* ABCF. *πουλὺ τ' ἄκμαζε* GH. *ἄημμα* IL Ald. Vasc. Venet. — 56. *ἀκτῶν τε βαρὺν στόνον* coni. Faber probavitque Reiskio. *αὖε γαὶ Αἴτνη* M. pro *Αἴτνη* Mein. malebat *Ἱρή*. — 57. *τρινακίη* CDdF Frob. Brunck., *τρινακρίη*, sed alteri ρ superimposito puncto AB, *τρινακίης κανῶν*, sed in margine correcto *τρινακρίης* E, *τρινακρίη* GHILM Ald. Vasc. *σικανὸν* G. *ἔδος* FM. — 58. *ἐπικύρνος* C, *ἐπι κύρνος* AB, *κέρνος* H quod probat Mein. p. 160 seq. et p. 177. — 59. *γεὸραιστῆρας* AB. *γε ὀραιστῆρας* C. *γερραιστῆρας* Ff, *γε ρραιστῆρας* E, *ῥαστῆρας* D. — 60. *ζήοντα καμεινόθεν* Ald. Vasc. — 61. *τετύποντος* AB, *τετυπόντος* C, *τετυπόντες* EF, *ἀμβολαδίς τε τυπόντες* IM Frob. Vascos., *ἀμβολαδίς τυπόντες* Ald. *ἐπεὶ* codd. et edd. veteres omnes, nisi quod *ἀτείρεα* pro *ἐπὶ μέγα* L, item T in margine. emend. Steph. et Bentl. *ἐπ' ἄμμιγα* coniecerat Stanley. *μοχθίσειαν* ABLQ, *μοχθίσσειαν* E, *μυχθίσσειαν* coni. Mein. — 62. *ἐτάλασαν* FHIL Ald. *ὠκιανῖναι* C. hunc vers. citat Draco p. 105. — 63. *δέχθεσθαι* BC. — 64. bis scriptus in C. *κείνους δέ* codd. et edd. correxit Mein. — 65. *μερόπων ὁρόωσι* coni. Ruhnk. — 66. *τὶς* AF Frob. Vasc. *τίς* B. pro *ἀπειθέα* varia corrigunt, *ἀπευθέα* ego, *πένθεα* Hecker, *ἀπεχθέα* Haupt, *ἐπαχθέα* Pohl, *ἀπηνέα* H. Iacobi, *ἀπήθεα* vel *ἀεικέα* Mein., *ἀγηθέα* Schmidt in Mus. Rhenan. XX p. 462. *τεύχει* FGHI et in Steph. in marg., quod malebant Blomf. et Mein. sed cf. ad III 17.

μήτηρ μὲν Κύκλωπας ἐῇ ἐπὶ παιδὶ καλιστρεῖ,
Ἄργην ἢ Στερόπην· ὃ δὲ δώματος ἐκ μυχάτοιο
ἔρχεται Ἑρμείης, σποδιῇ κεχριμένος αἰθῇ.
αὐτίκα τὴν κούρην μορμύσσεται· ἣ δὲ τεκούσης
δύνει ἔσω κόλπους θεμένη ἐπὶ φάεσι χεῖρας.
κοῦρα, σὺ δὲ προτέρω περ, ἔτι τριέτηρος ἐοῦσα,
εὖτ' ἔμολεν Λητώ σε μετ' ἀγκαλίδεσσι φέρουσα,
Ἡφαίστου καλέοντος, ὅπως ὀπτήρια δοίη,
Βρόντεώ σε στιβαροῖσιν ἐφεσσαμένου γονάτεσσι,
στήθεος ἐκ μεγάλου λασίης ἐδράξαο χαίτης,
ὤλοψας δὲ βίηφι· τὸ δ' ἄτριχον εἰσέτι καὶ νῦν
μεσσάτιον στέρνοιο μένει μέρος, ὡς ὅτε κόρσῃ
φωτὸς ἐνιδρυθεῖσα κόμην ἀπενείματ' ἀλώπηξ.
τῷ μάλα θαρσαλέη σφε τάδε προσελέξαο τῆμος,
'Κύκλωπες, κἤμοί τι Κυδώνιον εἰ δ' ἄγε τόξον
ἠδ' ἰοὺς κοίλην τε κατακληῖδα βελέμνων
τεύξατε· καὶ γὰρ ἐγὼ Λητωιάς, ὥσπερ Ἀπόλλων.

---

67. *καλυστρεῖ* L. — 68. *ἐν μυχάτοιο* ABCF. — 69. *ἑρμείη* G. *ἐρκείης* con. D. Heins., *ἐρξείης* Ruhnk., *ἐξαπίνης* Toup. ad Theocrit. p. 451 Berol., *ἐμμαπέως* vel *ἐμμεμάως* Blomf. *σποδίῃ τε* coni. Ernest., recep. Brunck. *κεχρημένος* ABCDdFGHILM Frob. Vasc., item E et T, nisi quod ille in marg. habet *κεχριμένος*, hic *κεχρειμένος*. *κεχρεμένος* Ald., *κεχρυμένος* Venet. 1555. *κεχρισμένος* coni. Steph., *κεχριμένος* Graev. probatum Reisk., Blomf., Mein., non item Dilth. anal. p. 37, qui *κεχρωμένος* vel *κεχρωσμένος* malebat. *αἴθη* FI Ald. *ὤμους* pro *αἰθῇ* praebet G. — vv. 68 et 69 suspectat Ruhnk. — 70. *κόρην* E. *μορμύσεται* ABCEFfGIL Ald. verba *αὐτίκα τὴν κούρην μορμύσσεται* hinc profert schol. Paris. A ad Lycophr. 342. add. Bachmann. Anecd. II p. 220. — 71. *δύνη* HI, *δύνῃ* Ald. — 72. *κούρα* I. *δὲ* om. I. *ἔτει τριέτειρος* G, *ἔτει τριέτηρος* I, *τριέτυρος* Vasc. — 73. *ἔμολε* G et Brunck. — 74. *ὀπτήρεια* G. — 75. *Βρόντεώ τε* (vel *δὲ*) coni. Ern. *γονάτεσσιν* F. — 76. *στήθεος εὖ μεγάλου* coni. Mein., *ἐκ μεσάτου* vel *ἐν μεσάτῳ* coni. M. Schmidt Veris. p. 30, *ἐκπάγλου* id. in Fleckeis. Annal. 1868 p. 36. — 77. *ὤλυψας δ' αἴηφι* hinc habere videtur schol. V. ad Il. XXIII 102. *ἔλοψας* GH, *ἔλλοψας* I. *τό δ'* B. *ἄτρυχον* I. — 78. *μεσσάτοιο* AB. *μένει μένος* GHI. *κόρσην* libri et edd. praeter GH. emendaverat nescio quis ap. Graevium. *κορσῇ* coni. etiam T. Bentl. — 79. *ἐνιδρυθεῖσα* ABCEFG, reliqui *ἐνιδρυνθεῖσα*. *ἐπενείματ'* libri, quod correxi Meinekii assensum nactus. — 80. *θαραλέης φε* AB. *προσελέξατο* CDdFGHI, item E, sed in hoc punctis supra et infra *τ* positis librarius illam literam delendam esse indicavit. — 81. *ἢ ἦ μοι* vel *ἢ ἢ μοι* AEf, *ἢ εἴ μοι* F, *εἴη μοι* GHI, *ἦ μοι* vel *ἢ μοι* BCDdLM Ald. Frob. Vasc. Venet. *κἀμοί* in marg. L. *νῦν μοι* vel *καί μοι* coni. Steph. *νῦν Κύκλωπες ἐμοὶ* Reiske, *ἤ μοι* Brunck., *κἀμοὶ* Blomf., quod probat Naeke de Hecal. p. 94. *κἤμοί* ed. Mein., quem secutus sum. *κ' ἐδώνιον* H. — 82. *ἦδ'* AB. *κατὰ κληῖδα* DdF. — 83. *λητοιὰς* ABCEF.

αἰ δέ κ' ἐγὼ τόξοις μονιὸν δάκος ἤ τι πέλωρον
θηρίον ἀγρεύσω, τὸ δέ κεν Κύκλωπες ἔδοιεν'.
ἔννεπες· οἱ δ' ἐτέλεσσαν. ἄφαρ δ' ὡπλίσσαο, δαῖμον·
αἶψα δ' ἐπὶ σκύλακας πάλιν ἤιες, ἵκεο δ' αὖλιν
Ἀρκαδικὴν ἔπι Πανός. ὃ δὲ κρέα λυγκὸς ἔταμνε
Μαιναλίης, ἵνα οἱ τοκάδες κύνες εἶδαρ ἔδοιεν.
τὶν δ' ὁ γενειήτης δύο μὲν κύνας ἥμισυ πηγούς,
τρεῖς δὲ παρουαίους, ἕνα δ' αἰόλον. οἵ ῥα λέοντας
αὐτοὺς αὖ ἐρύοντες, ὅτε δράξαιντο δεράων,
εἷλκον ἔτι ζώοντας ἐπ' αὐλίον, ἑπτὰ δ' ἔδωκε
θάσσονας αὐράων Κυνοσουρίδας, αἵ ῥα διῶξαι
ὤκισται νεβρούς τε καὶ οὐ μύοντα λαγωόν,
καὶ κοίτην ἐλάφοιο καὶ ὕστριχος ἔνθα καλιαὶ
σημῆναι καὶ ζορκὸς ἐπ' ἴχνιον ἡγήσασθαι.
ἔνθεν ἀπερχομένη (μετὰ καὶ κύνες ἐσσεύοντο)
εὗρες ἐπὶ προμολῇς ὄρεος τοῦ Παρρασίοιο
σκαιρούσας ἐλάφους, μέγα τι χρέος, αἱ μὲν ἐπ' ὄχθης

---

